## Αἰτιατική.

§. χκέ. Ἡ δ' Αἰτιατικὴ, τῶν μὲν Ἰσοσυλλάβων, μακροκαταληκτεῖ ἀεί. Τῶν δὲ Περιττοσυλλάβων, βραχυκαταληκτεῖ. Ἡ δὲ Κλητικὴ, τῇ Εὐθείᾳ ὁμοίως.

## Περὶ τῶν Πεμπτοκλίτων.

## Κανόνες.

§. χκς'. Τῶν δὲ τῆς Πέμπτης Κλίσεως οὐκ ἀεὶ τὰ δίχρονα ἐπὶ τῆς Γενικῆς, καὶ τῶν ἄλλων Πλαγίων, οἷα ἐπὶ τῆς Εὐθείας, ἀλλ' ἔνια μὲν μακρὰ ὄντα, συστέλλεται· ἔνια δὲ ἀνάπαλιν. οἷον, τὰ εἰς ιξ ἅπαντα μακρὰ παραλήγει, καί τοι διφορούμενα ἐπ' Εὐθείας, ὡς εἴρηται, Φοίνικος, κήρυκος. ἄντιγος.

§. χκζ'. Τὰ δὲ μονοσύλλαβα εἰς ξ, τὸ βραχὺ σώζει. σίξ, σιχός. Φρὺξ, Φρυγός. πλὰξ, πλακός. Πλὴν τοῦ ῥὰξ, ῥαγός. Ὅθεν ῥᾶγες. σεσημειώσθω δὲ καὶ τὸ θρὰξ, θρᾳκός.

§. χκή. Ἔτι τὰ εἰς αξ, ἀρσενικὰ δισύλλαβα, εἰ μὲν φύσει μακρᾷ παραλήγει, μακρὸν σώζει τὸ α. θώραξ, θώρακος. οἴαξ, οἴακος. εἰ δὲ μὴ, τρέπει αὐτὸ εἰς βραχύ. οἷον, κόλαξ, κόλακος. ἅρπαξ, ἅρπαγος. Πλὴν τοῦ φέναχος, πόρπακος, ὅρπακος, κόρδακος.

§. χκθ'. Τὰ δὲ εἰς αξ ὑπερδισύλλαβα βραχυπαράληκτα, ἐν ταῖς Πλαγίοις ἐκτείνει τὸ α. ἱέραξ, ἱέρακος. Πλὴν τοῦ ἀσπάλαξ, ἀσπάλακος.

§. χλ'. Ἔτι τὰ εἰς αρ μονοσύλλαβα, τὸ μακρὸν σώζει. ὁ κὰρ, τοῦ καρὸς, οἱ κᾶρες.

§. χλά. Ἔτι τὰ εἰς αν ἀρσενικὰ ὀξύτονα, ἁπλᾶ,